# ΣΤ.

# ΒΙΟΣ ΜΑΚΑΡΙΟΥ ΠΑΤΜΙΟΥ.

Πρὸς τὸν ὑψηλότατον καὶ εὐσεβέστατον αὐθέντην καὶ ἡγεμόνα πάσης Οὐγγροβλαχίας κύριον κύριον Ἰωάννην Κωνσταντῖνον Νικολάου βοεβόδαν διήγησις πάνυ συνοπτικὴ τοῦ σοφωτάτου καὶ ἀοιδίμου διδασκάλου κυρίου Μακαρίου τοῦ ἐκ Πάτμου νήσου, συντεθεῖσα παρὰ τοῦ σοφολογιωτάτου διδασκάλου τῆς ἐν Βουκουρεστίῳ φιλοσοφικῆς σχολῆς κυρίου κυρίου Ἀλεξάνδρου τοῦ ἐκ Τυρνάβου τῆς Θετταλίας.

Ἐπεί με ἡ φιλόμουσος αὐτῆς καὶ φιλάρετος διάθεσις, ὑψηλότατέ μου καὶ εὐεργετικώτατέ μοι αὐθέντα, καὶ ἡγεμόνων ἀγλάϊσμα, τὸν τοῦ σοφωτάτου μου καὶ ἀοιδίμου διδασκάλου κυρίου Μακαρίου βίον ὑποτυπώσασθαι ἐν συνόψει ἐκέλευσε, καὶ τοῦ ἔργου ἐπιλαβέσθαι κατοκνοῦντα, ἅτε δὴ ὄντος ὑπὲρ τὴν ἐμὴν δύναμιν, τὰ μέγιστα κατηνάγκασε, διὰ τὴν πρὸς τὸν ἄνδρα αὐτῆς ἄκραν εὐλάβειαν, διά τοι ταῦτα κἀγὼ ὁ ἐλάχιστος αὐτῆς δοῦλος, ἄκων μὲν ἄκων, ἀλλ' ἡψάμην τοῦ προστάγματος, ὡς λίαν μέντοι ἀκροθιγῶς, οὔθ' ὡς γὰρ δεῖ, οὔθ' ὡς ᾤετο αὐτῆς ὕψος, οὔθ' ὡς ἀπαιτεῖ ἡ ὑπόθεσις· ἦ γὰρ ἂν ἔδει με γλῶτταν ἔχειν καὶ νοῦν καὶ διάνοιαν τοῦ περὶ οὗ ὁ λόγος· πῶς καὶ γὰρ ἂν ἐξαρκέσειεν ἡ ἐμὴ ἀμάθεια ἐς τοσοῦτον ἀρε-